ὀψὲ καὶ μετὰ πολὺν χρόνον ἐξουσίαν ψήφου δημαγωγῶν
ἔδωκεν Ἄππιος· ἡ δὲ παντελὴς ἀπελευθέρωσις ἄχρι νῦν
οὐινδίκτα λέγεται δι' ἐκεῖνον ὥς φασι τὸν Οὐινδίκιον.
8. Ἐκ τούτου τὰ μὲν χρήματα τῶν βασιλέων διαρ-
πάσαι τοῖς Ῥωμαίοις ἔδωκαν, τὴν δ' οἰκίαν κατέσκαψαν
καὶ τὴν ἔπαυλιν· τοῦ δ' Ἀρείου πεδίου τὸ ἥδιστον ἐκέ-
κτητο Ταρκύνιος, καὶ τοῦτο τῷ θεῷ καθιέρωσαν. ἔτυχε 2
δὲ τεθερισμένον ἄρτι, καὶ κειμένων ἔτι τῶν δραγμάτων
οὐκ ᾤοντο δεῖν ἀλοᾶν οὐδὲ χρῆσθαι διὰ τὴν καθιέρωσιν, f
ἀλλὰ δραμόντες ἐφόρουν τὰς ἀμάλλας εἰς τὸν ποταμόν.
ὡς δ' αὔτως καὶ τὰ δένδρα κόπτοντες ἐνέβαλλον, ἀργὸν 3
παντάπασι τὸ χωρίον ἀνιέντες τῷ θεῷ καὶ ἄκαρπον.
ὠθουμένων δὲ πολλῶν ἐπ' ἀλλήλοις καὶ ἀθρόων ὑπή- 4
γαγεν ὁ ῥοῦς οὐ πολὺν τόπον, ἀλλ' ὅπου τὰ πρῶτα συν-
δεθέντα καὶ περιπεσόντα τοῖς στερεοῖς ὑπέστη, τῶν ἐπι-
φερομένων διέξοδον οὐκ ἐχόντων ἀλλ' ἐνισχομένων καὶ 101
περιπλεκομένων, ἐλάμβανεν ἡ σύμπηξις ἰσχὺν καὶ ῥίζω-
σιν αὐξανομένην ὑπὸ τοῦ ῥεύματος. ἰλύν τε γὰρ ἐπή- 5
γαγε πολλήν, ἣ προσισταμένη τροφὴν παρεῖχεν ἅμα καὶ
κόλλησιν, αἵ τε πληγαὶ σάλον οὐκ ἐποίουν, ἀλλὰ μαλα-
κῶς πιέζουσαι συνήλαυνον εἰς ταὐτὸ πάντα καὶ συνέ-
πλαττον. ὑπὸ δὲ μεγέθους καὶ στάσεως ἕτερον αὐτῷ μέ- 6
γεθος ἐκτᾶτο καὶ χώραν ἀναδεχομένην τὰ πλεῖστα τῶν
ὑπὸ τοῦ ποταμοῦ καταφερομένων. τοῦτο νῦν νῆσός ἐστιν

Cap. 8 Dion. Hal. 5, 13 Liv. 2, 5

[S(UMA=)Υ] 2 παντελὴς, ω s. η scr., S ἀπελευθέρωσις, ἀπ extra col. m. 2 (ut vid.) S ἄχρι νῦν om. S 4 μὲν om. S 6 καὶ om. U 8 ἄρτι Υ et s s. S: ἤδη S 9 ᾤοντο S 10 συν-δραμόντες Υ 11 ἐνέβαλον Υ 13 ἀθρόων SU: ἀθρόον MA 14 συνδεθέντα S: συνενεχθέντα Υ 15 τῶν S: τῶν δὲ Υ 19 προισταμένη S τροφὴν SM: στροφὴν UA 22 αὐτῶ S αὐτὸ Υ 24 ὑπὸ] ἐκ S[m]

ἱερὰ κατὰ τὴν πόλιν, ἔχει δὲ καὶ ναοὺς θεῶν καὶ περι-
πάτους, καλεῖται δὲ φωνῇ τῇ Λατίνων Μέσον δυεῖν γε-
b 7 φυρῶν. ἔνιοι δὲ τοῦτο συμπεσεῖν ἱστοροῦσιν οὐχ ὅτε τὸ
Ταρκυνίου καθιερώθη πεδίον, ἀλλὰ χρόνοις ὕστερον
8 ἄλλο χωρίον ὁμοροῦν ἐκείνῳ Ταρκυνίας ἀνείσης. ἡ δὲ
Ταρκυνία παρθένος ἦν ἱέρεια, μία τῶν Ἑστιάδων, ἔσχε
δὲ τιμὰς ἀντὶ τούτου μεγάλας, ἐν αἷς ἦν καὶ τὸ μαρ-
τυρίαν αὐτῆς δέχεσθαι μόνης γυναικῶν· τὸ δ' ἐξεῖναι
γαμεῖσθαι ψηφισαμένων οὐ προσεδέξατο. καὶ ταῦτα μὲν
οὕτω γενέσθαι μυθολογοῦσι.

**9.** Ταρκύνιον δὲ τὴν ἐκ προδοσίας ἀπογνόντα τῆς
ἀρχῆς ἀνάληψιν ἐδέξαντο Τυρρηνοὶ προθύμως καὶ με-
2 γάλῃ δυνάμει κατῆγον. ἀντεξῆγον δὲ τοὺς Ῥωμαίους οἱ
c ὕπατοι καὶ παρέταξαν ἐν χωρίοις ἱεροῖς, ὧν τὸ μὲν Οὔρ-
σον ἄλσος, τὸ δ' Ἀνσούιον λειμῶνα προσαγορεύουσιν.
3 ἀρχομένων δ' αὐτῶν συνάγειν εἰς χεῖρας Ἄρρων ὁ Ταρ-
κυνίου παῖς καὶ Βροῦτος ὁ Ῥωμαίων ὕπατος, οὐ κατὰ
τύχην ἀλλήλοις περιπεσόντες ἀλλ' ὑπ' ἔχθους καὶ ὀργῆς,
ὁ μὲν ὡς ἐπὶ τύραννον καὶ πολέμιον τῆς πατρίδος, ὁ δὲ
4 τῆς φυγῆς ἀμυνόμενος ὥρμησαν ὁμόσε τοῖς ἵπποις. θυ-
μῷ δὲ μᾶλλον ἢ λογισμῷ προσμείξαντες ἠφείδησαν αὐ-
τῶν καὶ συναπέθανον ἀλλήλοις. οὕτω δὲ δεινοῦ γενο-
μένου τοῦ προάγωνος οὐκ ἔσχεν ὁ ἀγὼν τέλος ἐπιεικέ-
d στερον, ἀλλὰ καὶ δράσαντες ἴσα καὶ παθόντες οἱ στρατοὶ
5 διεκρίθησαν ὑπὸ χειμῶνος. ἦν οὖν ἐν ἀπόροις ὁ Οὐαλέ-

2 cf. Kiepert-Huelsen, Form. urb. Rom. p. 41 (Inter duos pontes) Cap. 9 Dion. Hal. 5, 14—17 Zon. 7, 12 Liv. 2, 6—7

[S(UMA=)Υ] 1 καὶ[1] om. Υ 2 μέση Υ δυοῖν Υ 3—4 ὅτε ταρκυνίου καθιερώθη τὸ πεδίον Υ 5 Ταρκυνίας ἀνείσης. ἡ δὲ om., sed mg. ἡ δὲ add. S 14 Οὖρσον] Ἄρσιον Amyot (Silva Arsia Liv. 2, 7 Val. M. 1, 8, 5) 15 ἀνσούϊον S: αἰσούειον Υ 16 αὐτῶν add. m. 2 S 21 προσμίξαντες, συμ supra προς scr., S 23 προάγοντος U 24 στρατιῶται S[r]